| | pause |
|---|---|
| Φιλόφρον Ἡσυχία, Δίκας<br>˘ ˘ ˘ – ˘ ˘– ˘ – | – |
| ὦ μεγιστόπολι θύγατερ,<br>– ˘ – ˘ ˘ ˘ ˘ ˘ – | – |
| βουλᾶν τε καὶ πολέμων<br>– – ˘ – ˘ ˘ – | – |
| ἔχοισα κλαῖδας ὑπερτάτας<br>˘ – ˘ –– ˘ ˘ – ˘ – | – |
| Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ.<br>– ˘˘ – – – ⌟ ˘ – ˘ ˘ – ˘ – | – |
| τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς<br>˘ – ˘ – ˘ ˘ – – ˘ – ˘ – ˘ – | ˘ |
| ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ·<br>˘ – ˘ – – – ˘ – ˘ – | – |
| τὺ δ᾽ ὁπόταν τις ἀμείλιχον<br>˘ ˘ ˘ – ˘ ˘ – ˘ – | – |
| καρδίᾳ κότον ἐνελάσῃ,<br>– ˘– ˘ ˘ ˘ ˘ ˘ – | – |
| τραχεῖα δυσμενέων<br>– – ˘ – ˘ ˘ – | ˘ |
| ὑπαντιάξαισα κράτει τιθεῖς<br>˘ – ˘ – – ˘ ˘ – ˘ – | – |
| ὕβριν ἐν ἄντλῳ, τὰν οὐδὲ Πορφυρίων μάθεν<br>– ˘ ˘ – ⌟ – – ˘ – ˘ ˘– ˘ – | – |
| παρ᾽ αἶσαν ἐξερεθίζων. κέρδος δὲ φίλτατον,<br>˘ – ˘ – ˘ ˘ – – – – ˘ – ˘ – | ˘ |
| ἑκόντος εἴ τις ἐκ δόμων φέροι.<br>˘ – ˘ – ˘ – ˘ – ˘ – | – |
| βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ.<br>˘ – ˘ – ˘ ˘ – ˘ – – ˘ – ˘ – | ˘ |
| Τυφὼς Κίλιξ ἑκατόγκρανος οὔ νιν ἄλυξεν,<br>– – ˘ – ˘ ˘ – – ˘ – ˘ ˘ – – | ˘ |
| οὐδὲ μὰν βασιλεὺς Γιγάντων· δμᾶθεν δὲ κεραυνῷ<br>– ˘ – ˘ ˘ – ˘ – – – – ˘ ˘ – – | ˘ |
| τόξοισί τ᾽ Ἀπόλλωνος· ὃς εὐμενεῖ νόῳ<br>– – ˘ ˘ – – ˘ ˘ – ˘ – ˘ – | ˘ |
| Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον<br>˘ – –˘ ˘ – ˘ – – ˘ – ˘ ˘ – ˘ – | ˘ |
| υἱὸν ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ.<br>– – – – – – ˘ ˘ – ˘ – ˘ – – | ⌟ |

| | |
|---|---|
| ἔπεσε δ' οὐ Χαρίτων ἑκάς<br>⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – | – |
| ἁ δικαιόπολις ἀρεταῖς<br>– ⏑ – ⏑ ⏑ ⏑ ⏑ ⏑ – | – |
| κλειναῖσιν Αἰακιδᾶν<br>– – ⏑ – ⏑ ⏑ – | ⏑ |
| θιγοῖσα νᾶσος· τελέαν δ' ἔχει<br>⏑ – ⏑ – – ⏑ ⏑– ⏑ – | – |
| δόξαν ἀπ' ἀρχᾶς. πολλοῖσι μὲν γὰρ ἀείδεται<br>– ⏑ ⏑ – ⌟ – – ⏑ – ⏑ ⏑– ⏑ – | ⏑ |
| νικαφόροις ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς<br>– – ⏑ – ⏑ ⏑ – – – – ⏑ – ⏑ – | ⏑ |
| ὑπερτάτους ἥρωας ἐν μάχαις·<br>⏑ – ⏑ – – – ⏑ – ⏑ – | – |
| τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει.<br>⏑ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – | – |
| εἰμὶ δ' ἄσχολος ἀναθέμεν<br>– ⏑ – ⏑ ⏑ ⏑ ⏑ ⏑ – | – |
| πᾶσαν μακραγορίαν<br>– – ⏑ – ⏑ ⏑ – | ⏑ |
| λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,<br>⏑ – ⏑ – – ⏑ ⏑ – ⏑ – | – |
| μὴ κόρος ἐλθὼν κνίσῃ. τὸ δ' ἐν ποσί μοι τράχον<br>– ⏑ ⏑ – – ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ – | – |
| ἴτω τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν,<br>⏑ – ⏑ – ⏑ ⏑ – – ⏑– ⏑ – ⏑ – | – |
| ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.<br>⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – | – |
| παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεούς<br>⏑ – ⏑ – ⏑ ⏑ – – – – ⏑ – ⏑ – | – |
| Οὐλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις,<br>– – ⏑– ⏑ ⏑ – – ⏑ – ⏑ ⏑ – – | – |
| οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον·<br>– ⏑ – ⏑ ⏑ – ⏑ – – – – ⏑ ⏑ – – | – |
| αὔξων δὲ πάτραν Μειδυλιδᾶν λόγον φέρεις,<br>– – ⏑ ⏑ – – ⏑ ⏑ – ⏑ – ⏑ – | ⏑ |
| τὸν ὅνπερ ποτ' Ὀϊκλέος παῖς ἐν ἑπταπύλοις ἰδών<br>⏑ – – ⏑ ⏑– ⏑– – ⏑ – ⏑ ⏑ – ⏑ – | – |
| υἱοὺς Θήβαις αἰνίξατο παρμένοντας αἰχμᾷ,<br>– – – – – – ⏑ ⏑ – ⏑ – ⏑ – – | ⌟ |

| | |
|---|---|
| ὁπότ᾽ ἀπ᾽ Ἄργεος ἤλυθον<br>˘ ˘ ˘ – ˘˘ – ˘ – | – |
| δευτέραν ὁδὸν Ἐπίγονοι.<br>– ˘ – ˘ ˘ ˘ ˘ ˘ – | – |
| ὧδ᾽ εἶπε μαρναμένων·<br>– – ˘ – ˘ ˘ – | – |
| ‘φυᾷ τὸ γενναῖον ἐπιπρέπει<br>˘– ˘ – – ˘ ˘ – ˘ – | – |
| ἐκ πατέρων παισὶ λῆμα. θαέομαι σαφές<br>– ˘ ˘ – – ˘ – ˘ – ˘˘ – ˘ – | – |
| δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν᾽ ἐπ᾽ ἀσπίδος<br>˘ – ˘ – ˘ ˘ – – – – ˘ – ˘ – | – |
| νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις.<br>– – ˘ – ˘ – ˘ – ˘ – | ┘ |
| ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ<br>˘ ˘ ˘ – ˘ ˘ – ˘ – | – |
| νῦν ἀρείονος ἐνέχεται<br>– ˘ – ˘ ˘ ˘ ˘ ˘ – | – |
| ὄρνιχος ἀγγελίᾳ<br>– – ˘ – ˘ ˘– | – |
| Ἄδραστος ἥρως· τὸ δὲ οἴκοθεν<br>˘ – ˘ – – ˘ ˘ – ˘ – | – |
| ἀντία πράξει. μόνος γὰρ ἐκ Δαναῶν στρατοῦ<br>– ˘˘ – ┘ ˘ – ˘ – ˘ ˘ – ˘ – | ˘ |
| θανόντος ὀστέα λέξαις υἱοῦ, τύχᾳ θεῶν<br>˘ – ˘ – ˘˘ – – – – ˘ – ˘– | ˘ |
| ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ<br>˘ – ˘ – –– ˘ – ˘ – | – |
| Ἄβαντος εὐρυχόρους ἀγυιάς.᾽ τοιαῦτα μέν<br>˘ – ˘ – ˘ ˘ – ˘ – – ˘ – ˘ – | ˘ |
| ἐφθέγξατ᾽ Ἀμφιάρηος. χαίρων δὲ καὶ αὐτός<br>– – ˘ – ˘˘ –– – – ˘ ˘ – – | – |
| Ἀλκμᾶνα στεφάνοισι βάλλω, ῥαίνω δὲ καὶ ὕμνῳ,<br>– – – ˘ ˘ – ˘ – ┘ – – ˘ ˘ – – | – |
| γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν<br>– – ˘ ˘ – – ˘˘ – ˘ – ˘ – | ˘ |
| ὑπάντασεν ἰόντι γᾶς ὀμφαλὸν παρ᾽ ἀοίδιμον,<br>˘ – – ˘ ˘– ˘ – – ˘ – ˘ ˘– ˘ – | – |
| μαντευμάτων τ᾽ ἐφάψατο συγγόνοισι τέχναις.<br>– – ˘ – ˘ – ˘ ˘ – ˘ –˘ – – | ┘ |

τὺ δ', Ἑκαταβόλε, πάνδοκον
˘ ˘ ˘ – ˘ ˘ – ˘ – | –
ναὸν εὐκλέα διανέμων
– ˘ – ˘ ˘ ˘ ˘ ˘ – | –
Πυθῶνος ἐν γυάλοις,
– – ˘ – ˘ ˘ – | –
τὸ μὲν μέγιστον τόθι χαρμάτων
˘ – ˘ – – ˘ ˘ – ˘ – | –
ὤπασας, οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν
– ˘ ˘ – – ˘ – ˘ – ˘ ˘ – ˘ – | ˘
πενταεθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες·
– – ˘ – ˘ ˘ – – – – ˘ – ˘ – | –
ὦναξ, ἑκόντι δ' εὔχομαι νόῳ
– – ˘ – ˘ – ˘ – ˘ – | –

κατά τιν' ἁρμονίαν βλέπειν
˘ ˘ ˘ – ˘ ˘ – ˘ – | –
ἀμφ' ἕκαστον, ὅσα νέομαι.
– ˘ – ˘ ˘ ˘ ˘ ˘ – | –
κώμῳ μὲν ἁδυμελεῖ
– – ˘ – ˘ ˘ – | –
Δίκα παρέστακε· θεῶν δ' ὄπιν
˘ – ˘ – – ˘ ˘ – ˘ – | –
ἄφθονον αἰτέω, Ξέναρκες, ὑμετέραις τύχαις.
– ˘ ˘ – – ˘ – ˘ – ˘ ˘ – ˘ – | –
εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ,
– – ˘ – – ˘ – – – – ˘ – ˘ – | –
πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων
– – ˘ – ˘ – ˘ – ˘ – | ˘

βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς·
˘ – ˘ – ˘ ˘ – ˘ – – ˘ – ˘ – | –
τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται· δαίμων δὲ παρίσχει·
˘ – ˘ – ˘ ˘ – – – – ˘ ˘ – – | –
ἄλλοτ' ἄλλον ὕπερθε βάλλων, ἄλλον δ' ὑπὸ χειρῶν,
– ˘ – ˘ ˘ – ˘ – – – – ˘ ˘ – – | –
μέτρῳ καταβαίνει· {ἐν} Μεγάροις δ' ἔχεις γέρας,
– – ˘ ˘ – – ˘ ˘ – ˘ – ˘ – | –
μυχῷ τ' ἐν Μαραθῶνος, Ἥρας τ' ἀγῶν' ἐπιχώριον
˘ – – ˘ ˘ – ˘ – – ˘ – ˘ ˘ – ˘ – | ˘
νίκαις τρισσαῖς, ὦ Ἀριστόμενες, δάμασσας ἔργῳ·
– – – – – – ˘ ˘ – ˘ – ˘ – – | ⌟

| | |
|---|---|
| τέτρασι δ᾽ ἔμπετες ὑψόθεν<br>˘ ˘ ˘ – ˘ ˘ – ˘ – | – |
| σωμάτεσσι κακὰ φρονέων,<br>– ˘ – ˘ ˘ ˘ ˘ ˘– | – |
| τοῖς οὔτε νόστος ὁμῶς<br>– – ˘ – ˘ ˘ – | ˘ |
| ἔπαλπνος ἐν Πυθιάδι κρίθη,<br>˘ – ˘ – – ˘˘ – ˘ – | – |
| οὐδὲ μολόντων πὰρ ματέρ᾽ ἀμφὶ γέλως γλυκύς<br>– ˘ ˘ – – – – ˘ – ˘ ˘ – ˘ – | ˘ |
| ὦρσεν χάριν· κατὰ λαύρας δ᾽ ἐχθρῶν ἀπάοροι<br>– – ˘ – ˘ ˘ – – – – ˘ –˘ – | – |
| πτώσσοντι, συμφορᾷ δεδαγμένοι.<br>– – ˘ – ˘ – ˘ – ˘ – | ┘ |
| ὁ δὲ καλόν τι νέον λαχών<br>˘ ˘ ˘ – ˘ ˘ – ˘ – | – |
| ἁβρότατος ἔπι μεγάλας<br>– ˘ – ˘ ˘ ˘ ˘ ˘ – | – |
| ἐξ ἐλπίδος πέταται<br>– – ˘ – ˘ ˘ – | – |
| ὑποπτέροις ἀνορέαις, ἔχων<br>˘ – ˘ – – ˘ ˘ – ˘ – | – |
| κρέσσονα πλούτου μέριμναν. ἐν δ᾽ ὀλίγῳ βροτῶν<br>– ˘ ˘ – – ˘ – ˘ – ˘ ˘ – ˘ – | – |
| τὸ τερπνὸν αὔξεται· οὕτω δὲ καὶ πίτνει χαμαί,<br>˘ – ˘ – ˘ ˘ – – ˘ – ˘ – ˘ – | ˘ |
| ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.<br>˘ – ˘ – – – ˘ – ˘ – | – |
| ἐπάμεροι· τί δέ τις; τί δ᾽ οὔ τις; σκιᾶς ὄναρ<br>˘ – ˘ – ˘ ˘ – ˘ – – ˘– ˘ – | ˘ |
| ἄνθρωπος. ἀλλ᾽ ὅταν αἴγλα διόσδοτος ἔλθῃ,<br>– – ˘ – ˘ ˘ – – ˘– ˘ ˘ – – | – |
| λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών.<br>– – – ˘ ˘ – ˘ – – – – ˘ ˘ – – | – |
| Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ<br>– –˘ ˘ – – ˘ ˘ – ˘ – ˘ – | ˘ |
| πόλιν τάνδε κόμιζε Δὶ καὶ κρέοντι σὺν Αἰακῷ<br>˘ – – ˘ ˘ – ˘ – – ˘ – ˘ ˘ –˘ – | ˘ |
| Πηλεῖ τε κἀγαθῷ Τελαμῶνι σύν τ᾽ Ἀχιλλεῖ.<br>– – ˘ – ˘ ┘ ˘ ˘ – ˘ – ˘ – – | |

| | | |
|---|---|---|
| | | |